ΕΚ. αἰαῖ, τίν᾽ ἢ Θεσσαλίας πόλιν  
Φθιάδος εἶπας ἢ Καδμείας χθονός;  
ΤΑ. κατ᾽ ἄνδρ᾽ ἑκάστη κοὐχ ὁμοῦ λελόγχατε.  
ΕΚ. τίν᾽ ἄρα τίς ἔλαχε; τίνα πότμος εὐτυχὴς  
Ἰλιάδων μένει;  
ΤΑ. οἶδ᾽· ἀλλ᾽ ἕκαστα πυνθάνου, μὴ πάνθ᾽ ὁμοῦ.  
ΕΚ. τοὐμὸν τίς ἄρ᾽ ἔλαχε τέκος, ἔννεπε,  
τλάμονα Κασάνδραν;  
ΤΑ. ἐξαίρετόν νιν ἔλαβεν Ἀγαμέμνων ἄναξ.  
ΕΚ. ἦ τᾷ Λακεδαιμονίᾳ νύμφᾳ δούλαν;  
ἰώ μοί μοι.  
ΤΑ. οὔκ, ἀλλὰ λέκτρων σκότια νυμφευτήρια.  
ΕΚ. ἦ τὰν τοῦ Φοίβου παρθένον, ᾇ γέρας ὁ  
χρυσοκόμας ἔδωκ᾽ ἄλεκτρον ζωάν;  
ΤΑ. ἔρως ἐτόξευσ᾽ αὐτὸν ἐνθέου κόρης.  
ΕΚ. ῥῖπτε, τέκνον, ζαθέους  
κλῇδας, ἀπὸ χροὸς ἐν-  
δυτῶν στεφέων ἱεροὺς στολμούς.  
ΤΑ. οὐ γὰρ μέγ᾽ αὐτῇ βασιλικῶν λέκτρων τυχεῖν;  
ΕΚ. τί δ᾽ ὃ νεοχμὸν ἀπ᾽ ἐμέθεν ἐλάβετε τέκος, ποῦ μοι;  
ΤΑ. Πολυξένην ἔλεξας, ἢ τίν᾽ ἱστορεῖς;  
ΕΚ. ταύταν τῷ πάλος ἔζευξεν;  
ΤΑ. τύμβῳ τέτακται προσπολεῖν Ἀχιλλέως.  
ΕΚ. οἴμοι ἐγώ· τάφῳ πρόσπολον ἐτεκόμαν.  
ἀτὰρ τίς ὅδ᾽ ἢ νόμος ἢ  
τί θέσμιον, ὦ φίλος, Ἑλλάνων;  
ΤΑ. εὐδαιμόνιζε παῖδα σήν· ἔχει καλῶς.  
ΕΚ. τί τόδ᾽ ἔλακες; ἆρά μοι ἀέλιον λεύσσει;  
ΤΑ. ἔχει πότμος νιν, ὥστ᾽ ἀπηλλάχθαι πόνων.  
ΕΚ. τί δ᾽ ἡ τοῦ χαλκεομήστορος Ἕκτορος δάμαρ,  
Ἀνδρομάχα τάλαινα, τίν᾽ ἔχει τύχαν;  
ΤΑ. καὶ τήνδ᾽ Ἀχιλλέως ἔλαβε παῖς ἐξαίρετον.

---

241. *πόλιν*] Hartungius, *πόλιν ἢ* libri. 242. *ἢ καὶ* BC 244. *τίν᾽ ἆρα τίς ἔλαχον AB* 247. *ἄρ᾽* om. BC 253. *τοῦ* om. *AB* 257. *καὶ ἀπό AB* 260. *τί δ᾽ ὅ*] Musgravius, *τί δὲ τό* libri. 266. *ἦν AB* 270. *κακῶν AB* 271. *χαλκεομήστορος*] *χαλκεομήτορος* BC *χαλκεομίτορος AB*